# ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

1.1 Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος θεοῦ
τοῖς ἁγίοις τοῖς οὖσιν [~~ἐν Ἐφέσῳ~~] καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ,
1.2 χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

1.3 Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ
ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ,
1.4 καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου
εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ
|1.5 ἐν ἀγάπῃ | προορίσας ἡμᾶς εἰς υἱοθεσίαν
διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν,
κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτου –
1.6 εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ
ἧς ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ.
1.7 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ,
τὴν ἄφεσιν τῶν παραπτωμάτων
κατὰ τὸ πλοῦτος τῆς χάριτος αὐτοῦ
1.8 ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς, ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει,
1.9 γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ,
κατὰ τὴν εὐδοκίαν αὐτοῦ
|1.10 ἣν προέθετο ἐν αὐτῷ | εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν,
ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ,
τὰ ἐπὶ τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς ἐν αὐτῷ.
1.11 Ἐν ᾧ καὶ ἐκληρώθημεν
προορισθέντες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος
κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ
1.12 εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον δόξης αὐτοῦ
τοὺς προηλπικότας ἐν τῷ Χριστῷ.
1.13 ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας,
τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν,
ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε
τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ,
1.14 ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν,
εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.

1.15 Διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν καθ᾽ ὑμᾶς πίστιν ἐν τῷ κυρίῳ Ἰησοῦ
καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους
1.16 οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν
μνείαν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,
1.17 ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
ὁ πατὴρ τῆς δόξης,
δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ,
1.18 πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας [ὑμῶν]
εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ,
τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις,
1.19 καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ
εἰς ἡμᾶς τοὺς πιστεύοντας
κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ.
1.20 ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ
ἐγείρας αὐτὸν ἐκ νεκρῶν
καὶ καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις

# ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

1.1 Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελή- **0.** **4 ****
ματος θεοῦ τοῖς ἁγίοις τοῖς οὖσιν [~~ἐν Ἐφέσῳ~~] καὶ πιστοῖς ἐν
Χριστῷ Ἰησοῦ, 1.2 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ
θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ. *4:00*

1.3 Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡ- **1.** **78 ****
μῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πά- ***1.1*** ***30 *****
σῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανί- *-1* *10:03*
οις ἐν Χριστῷ, 1.4 καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐ- -1.1 3:04
τῷ πρὸ καταβολῆς κόσμου εἶναι ἡμᾶς ἁγίους -1.2 5:02
καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ
1.5 προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰ-
ησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ
θελήματος αὐτοῦ – 1.6 εἰς ἔπαινον δόξης τῆς χάρι- -1.3 1:12
τος αὐτοῦ ἧς ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγα-
πημένῳ. 1.7 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν δι- *-2* *9:03*
ὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτω- -2.1 2:10
μάτων κατὰ τὸ πλοῦτος τῆς χάριτος αὐτοῦ 1.8 ἧς ἐ-
περίσσευσεν εἰς ἡμᾶς, ἐν πάσῃ σοφίᾳ καὶ φρο- -2.2 3:00
νήσει, 1.9 γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελή-
ματος αὐτοῦ, κατὰ τὴν εὐδοκίαν αὐτοῦ ἣν προ-
έθετο ἐν αὐτῷ 1.10 εἰς οἰκονομίαν τοῦ πληρώ- -2.3 3:08
ματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάν-
τα ἐν τῷ Χριστῷ, τὰ ἐπὶ τοῖς οὐρανοῖς καὶ τὰ ἐ-
πὶ τῆς γῆς ἐν αὐτῷ. 1.11 Ἐν ᾧ καὶ ἐκληρώθημεν προ- *-3* *10:04*
ορισθέντες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνερ- -3.1 4:01
γοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ 1.12 εἰς
τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον δόξης αὐτοῦ τοὺς προ-
ηλπικότας ἐν τῷ Χριστῷ. 1.13 ἐν ᾧ καὶ ὑμεῖς ἀκού-
σαντες τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλι- -3.2 3:11
ον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ καὶ πιστεύσαντες
ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας
τῷ ἁγίῳ, 1.14 ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομί- -3.3 2:07
ας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσε-
ως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ. *29:10*

1.15 Διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν καθ᾽ ὑμᾶς πίστιν ***1.2*** ***24 *****
ἐν τῷ κυρίῳ Ἰησοῦ καὶ τὴν ἀγάπην τὴν εἰς *-1* *4:01*
πάντας τοὺς ἁγίους 1.16 οὐ παύομαι εὐχαριστῶν ὑ-
πὲρ ὑμῶν μνείαν ποιούμενος ἐπὶ τῶν προσευχῶν
μου, 1.17 ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ *-2* *15:04*
Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, δώῃ ὑμῖν πνεῦμα σο- -2.1 4:00
φίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐ-
τοῦ, 1.18 πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας [ὑ-
μῶν] εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς -2.2 5:05
κλήσεως αὐτοῦ, τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρο-
νομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, 1.19 καὶ τί τὸ ὑπερ-
βάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς
τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους
τῆς ἰσχύος αὐτοῦ. 1.20 ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ -2.3 5:14
ἐγείρας αὐτὸν ἐκ νεκρῶν καὶ καθίσας ἐν δεξι-
ᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις 1.21 ὑπεράνω πά-

Derived from *The Greek New Testament*, 4th rev. ed., © 1993 Deutsche Bibelgesellschaft Stuttgart. The electronic version and the SymbolGreekU Unicode font used in this work are available from www.linguistsoftware.com

1.21 ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος
καὶ παντὸς ὀνόματος ὀνομαζομένου,
οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.
1.22 Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ
καὶ αὐτὸν ἔδωκεν
κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ,
1.23 ἥτις ἐστὶν τὸ σῶμα αὐτοῦ,
τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσιν πληρουμένου.

2.1 Καὶ ὑμᾶς ὄντας νεκροὺς
τοῖς παραπτώμασιν καὶ ταῖς ἁμαρτίαις ὑμῶν,
2.2 ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου,
κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος,
τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας·
2.3 ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε
ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν
ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν,
καὶ ἤμεθα τέκνα φύσει ὀργῆς ὡς καὶ οἱ λοιποί.
2.4 Ὁ δὲ θεὸς πλούσιος ὢν ἐν ἐλέει,
διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς,
2.5 καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν
συνεζωοποίησεν τῷ Χριστῷ –
χάριτί ἐστε σεσῳσμένοι –
2.6 καὶ συνήγειρεν καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ,
2.7 ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσιν τοῖς ἐπερχομένοις
τὸ ὑπερβάλλον πλοῦτος τῆς χάριτος αὐτοῦ
ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ.
2.8 Τῇ γὰρ χάριτί ἐστε σεσῳσμένοι διὰ πίστεως·
καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, θεοῦ τὸ δῶρον·
2.9 οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται.
2.10 αὐτοῦ γάρ ἐσμεν ποίημα,
κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς
οἷς προητοίμασεν ὁ θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

2.11 Διὸ μνημονεύετε
ὅτι ποτὲ ὑμεῖς τὰ ἔθνη ἐν σαρκί,
οἱ λεγόμενοι ἀκροβυστία
ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου,
2.12 ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ,
ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ
καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας,
ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ.
2.13 νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἵ ποτε ὄντες μακρὰν
ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ.

2.14 Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν,
ὁ ποιήσας τὰ ἀμφότερα ἓν
καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ,
2.15 τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασιν καταργήσας,
ἵνα τοὺς δύο κτίσῃ ἐν αὐτῷ εἰς ἕνα καινὸν ἄνθρωπον
ποιῶν εἰρήνην
2.16 καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ θεῷ
διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ.

| | | |
|---|---|---|
| σης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυ- | | |
| ριότητος καὶ παντὸς ὀνόματος ὀνομαζο- | | |
| μένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ | | |
| ἐν τῷ μέλλοντι. 1.22 Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς | *-3* | *3:11* |
| πόδας αὐτοῦ καὶ αὐτὸν ἔδωκεν κεφαλὴν ὑπὲρ | | |
| πάντα τῇ ἐκκλησίᾳ, 1.23 ἥτις ἐστὶν τὸ σῶμα αὐ- | | |
| τοῦ, τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσιν πληρουμέ- | | |
| νου. | | *23:01* |
| 2.1 Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασιν καὶ ταῖς | ***1.3*** | ***24 ***** |
| ἁμαρτίαις ὑμῶν, 2.2 ἐν αἷς ποτε περιεπατή- | *-1* | *9:00* |
| σατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ | -1.1 | 1:06 |
| τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύ- | -1.2 | 3:11 |
| ματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπει- | | |
| θείας· 2.3 ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν πο- | -1.3 | 3:13 |
| τε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν ποιοῦν- | | |
| τες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, | | |
| καὶ ἤμεθα τέκνα φύσει ὀργῆς ὡς καὶ οἱ λοιποί. | | |
| 2.4 Ὁ δὲ θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν | *-2* | *8:09* |
| πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, 2.5 καὶ | -2.1 | 4:01 |
| ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν συνεζω- | | |
| οποίησεν τῷ Χριστῷ – χάριτί ἐστε σεσῳσμέ- | | |
| νοι – 2.6 καὶ συνήγειρεν καὶ συνεκάθισεν ἐν τοῖς ἐπ- | -2.2 | 1:09 |
| ουρανίοις ἐν Χριστῷ Ἰησοῦ, 2.7 ἵνα ἐνδείξη- | | |
| ται ἐν τοῖς αἰῶσιν τοῖς ἐπερχομένοις τὸ ὑπερ- | -2.3 | 2:14 |
| βάλλον πλοῦτος τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι | | |
| ἐφ᾽ ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. 2.8 Τῇ γὰρ χάριτί ἐσ- | | |
| τε σεσῳσμένοι διὰ πίστεως· καὶ τοῦτο οὐκ ἐξ | *-3* | *6:09* |
| ὑμῶν, θεοῦ τὸ δῶρον· 2.9 οὐκ ἐξ ἔργων, ἵνα μή τις | | |
| καυχήσηται. 2.10 αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες | | |
| ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς οἷς προ- | | |
| ητοίμασεν ὁ θεὸς, ἵνα ἐν αὐτοῖς περιπα- | | |
| τήσωμεν. | | *23:03* |
| 2.11 Διὸ μνημονεύετε ὅτι ποτὲ ὑμεῖς τὰ ἔθ- | **2.** | ***78 ***** |
| νη ἐν σαρκί, οἱ λεγόμενοι ἀκροβυστία ὑ- | ***2.1*** | ***10 ***** |
| πὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειρο- | -1 | 3:03 |
| ποιήτου, 2.12 ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς | -2 | 3:14 |
| Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ | | |
| Ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγε- | | |
| λίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ | | |
| κόσμῳ. 2.13 νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἵ πο- | -3 | 2:03 |
| τε ὄντες μακρὰν ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵ- | | |
| ματι τοῦ Χριστοῦ. | | *9:05* |
| 2.14 Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας | ***2.2*** | ***20 ***** |
| τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ | *-1* | *7:10* |
| λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, 2.15 τὸν νόμον τῶν | -1.1 | 0:11 |
| ἐντολῶν ἐν δόγμασιν καταργήσας, ἵνα τοὺς δύ- | -1.2 | 3:00 |
| ο κτίσῃ ἐν αὐτῷ εἰς ἕνα καινὸν ἄνθρωπον ποι- | -1.3 | 3:14 |
| ῶν εἰρήνην 2.16 καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέ- | | |
| ρους ἐν ἑνὶ σώματι τῷ θεῷ διὰ τοῦ σταυροῦ, | | |
| ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ. 2.17 Καὶ ἐλθὼν εὐηγ- | | |

2.17 Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην
ὑμῖν τοῖς μακρὰν καὶ εἰρήνην τοῖς ἐγγύς·
2.18 ὅτι δι᾽ αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι
ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα.
2.19 Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι
ἀλλὰ ἐστὲ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ θεοῦ,
2.20 ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν,
ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ,
2.21 ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη
αὔξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ,
2.22 ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε
εἰς κατοικητήριον τοῦ θεοῦ ἐν πνεύματι.

---

3.1 Τούτου χάριν ἐγὼ Παῦλος
ὁ δέσμιος τοῦ Χριστοῦ [Ἰησοῦ] ὑπὲρ ὑμῶν τῶν ἐθνῶν –
3.2 Εἴ γε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ θεοῦ
τῆς δοθείσης μοι εἰς ὑμᾶς,
3.3 [ὅτι] κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον,
καθὼς προέγραψα ἐν ὀλίγῳ,
3.4 πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι
τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ,
3.5 ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων
ὡς νῦν ἀπεκαλύφθη
τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν πνεύματι,
3.6 εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα
τῆς ἐπαγγελίας ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου.
3.7 Οὗ ἐγενήθην διάκονος
κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ θεοῦ
τῆς δοθείσης μοι κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ.
3.8 Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη,
τοῖς ἔθνεσιν εὐαγγελίσασθαι
τὸ ἀνεξιχνίαστον πλοῦτος τοῦ Χριστοῦ
3.9 καὶ φωτίσαι [πάντας]
τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων
ἐν τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι,
3.10 ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις
διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ,
3.11 κατὰ πρόθεσιν τῶν αἰώνων
ἣν ἐποίησεν ἐν τῷ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν,
3.12 ἐν ᾧ ἔχομεν τὴν παρρησίαν καὶ προσαγωγὴν
ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ.
3.13 Διὸ αἰτοῦμαι μὴ ἐγκακεῖν ἐν ταῖς θλίψεσίν μου ὑπὲρ ὑμῶν,
ἥτις ἐστὶν δόξα ὑμῶν.

---

3.14 Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα,
3.15 ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται,
3.16 ἵνα δῷ ὑμῖν κατὰ τὸ πλοῦτος τῆς δόξης αὐτοῦ
δυνάμει κραταιωθῆναι
διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον,
3.17 κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν,
ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι,
3.18 ἵνα ἐξισχύσητε

| | | |
|---|---|---|
| γελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ εἰρή- | *-2* | *3:08* |
| νην τοῖς ἐγγύς· 2.18 ὅτι δι᾽ αὐτοῦ ἔχομεν τὴν προσα- | | |
| γωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν | | |
| πατέρα. 2.19 Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάρ- | *-3* | *8:03* |
| οικοι ἀλλὰ ἐστὲ συμπολῖται τῶν ἁγίων καὶ | -3.1 | 3:11 |
| οἰκεῖοι τοῦ θεοῦ, 2.20 ἐποικοδομηθέντες ἐπὶ | | |
| τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄν- | | |
| τος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ, 2.21 ἐν | -3.2 | 2:12 |
| ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔ- | | |
| ξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ, 2.22 ἐν ᾧ καὶ ὑ- | | |
| μεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ | -3.3 | 1:10 |
| θεοῦ ἐν πνεύματι. | | *19:06* |
| 3.1 Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τοῦ Χριστοῦ | ***2.3*** | ***30 ***** |
| [Ἰησοῦ] ὑπὲρ ὑμῶν τῶν ἐθνῶν – 3.2 Εἴ γε ἠκούσα- | *-1* | *1:10* |
| τε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ θεοῦ τῆς | *-2* | *11:02* |
| δοθείσης μοι εἰς ὑμᾶς, 3.3 [ὅτι] κατὰ ἀποκάλυ- | -2.1 | 3:11 |
| ψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς προέ- | | |
| γραψα ἐν ὀλίγῳ, 3.4 πρὸς ὃ δύνασθε ἀναγινώσ- | -2.2 | 4:12 |
| κοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρί- | | |
| ῳ τοῦ Χριστοῦ, 3.5 ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσ- | | |
| θη τοῖς υἱοῖς τῶν ἀνθρώπων ὡς νῦν ἀπεκαλύφθη | | |
| τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν | | |
| πνεύματι, 3.6 εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσ- | -2.3 | 2:09 |
| σωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας ἐν Χρι- | | |
| στῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου. 3.7 Οὗ ἐγε- | | |
| νήθην διάκονος κατὰ τὴν δωρεὰν τῆς χάρι- | *-3* | *2:12* |
| τος τοῦ θεοῦ τῆς δοθείσης μοι κατὰ τὴν ἐνέργει- | | |
| αν τῆς δυνάμεως αὐτοῦ. 3.8 Ἐμοὶ τῷ ἐλαχιστο- | | |
| τέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, | *-4* | *12:02* |
| τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸ ἀνεξιχνί- | -4.1 | 2:14 |
| αστον πλοῦτος τοῦ Χριστοῦ 3.9 καὶ φωτίσαι [πάντας] τίς ἡ | -4.2 | 7:05 |
| οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμ- | | |
| μένου ἀπὸ τῶν αἰώνων ἐν τῷ θεῷ τῷ τὰ πάν- | | |
| τα κτίσαντι, 3.10 ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς | | |
| ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκ- | | |
| κλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ, | | |
| 3.11 κατὰ πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν | | |
| τῷ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, 3.12 ἐν ᾧ ἔ- | | |
| χομεν τὴν παρρησίαν καὶ προσαγωγὴν ἐν πεποι- | -4.3 | 1:13 |
| θήσει διὰ τῆς πίστεως αὐτοῦ. 3.13 Διὸ αἰτοῦμαι | | |
| μὴ ἐγκακεῖν ἐν ταῖς θλίψεσίν μου ὑπὲρ ὑμῶν, ἥ- | *-5* | *1:12* |
| τις ἐστὶν δόξα ὑμῶν. | | *29:07* |
| 3.14 Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέ- | ***2.4*** | ***12 ***** |
| ρα, 3.15 ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ | -1 | 2:06 |
| γῆς ὀνομάζεται, 3.16 ἵνα δῷ ὑμῖν κατὰ τὸ πλοῦ- | -2 | 5:00 |
| τος τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι δι- | | |
| ὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, 3.17 κατ- | | |
| οικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρ- | | |
| δίαις ὑμῶν, ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τε- | | |
| θεμελιωμένοι 3.18 ἵνα ἐξισχύσητε κατα- | -3 | 4:06 |

καταλαβέσθαι σὺν πᾶσιν τοῖς ἁγίοις
τί τὸ πλάτος καὶ μῆκος καὶ ὕψος καὶ βάθος,
3.19 γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ,
ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ.

3.20 Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι
ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν
κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν,
3.21 αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ καὶ ἐν Χριστῷ Ἰησοῦ
εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων,
ἀμήν.

---

4.1 Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ
ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε,
4.2 μετὰ πάσης ταπεινοφροσύνης καὶ πραΰτητος,
μετὰ μακροθυμίας¬ ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ,
4.3 σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος
ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης·
4.4 ἓν σῶμα καὶ ἓν πνεῦμα,
καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν·
4.5 εἷς κύριος, μία πίστις, ἓν βάπτισμα,
4.6 εἷς θεὸς καὶ πατὴρ πάντων,
ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν.

4.7 Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις
κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.
4.8 διὸ λέγει, **Ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν,**
**ἔδωκεν δόματα τοῖς ἀνθρώποις.**
4.9 τὸ δὲ Ἀνέβη τί ἐστιν,
εἰ μὴ ὅτι καὶ κατέβη εἰς τὰ κατώτερα [~~μέρη~~] τῆς γῆς;
4.10 ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν,
ἵνα πληρώσῃ τὰ πάντα.
4.11 καὶ αὐτὸς ἔδωκεν τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας,
τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους,
4.12 πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας,
εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ,
4.13 μέχρι καταντήσωμεν οἱ πάντες
εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ,
εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ,
4.14 ἵνα μηκέτι ὦμεν νήπιοι,
κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας
ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων,
ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης,
4.15 ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα,
ὅς ἐστιν ἡ κεφαλή, Χριστός,

4.16 Ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον
διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας
κατ᾽ ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους
τὴν αὔξησιν τοῦ σώματος ποιεῖται
εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ.

---

4.17 Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν κυρίῳ,
μηκέτι ὑμᾶς περιπατεῖν,
καθὼς καὶ τὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν,

---

λαβέσθαι σὺν πᾶσιν τοῖς ἁγίοις τί τὸ πλάτος καὶ
μῆκος καὶ ὕψος καὶ βάθος, 3.19 γνῶναί τε τὴν ὑπερβάλ-
λουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ, ἵνα πλη-
ρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ. *11:12*
3.20 Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερ- ***2.5*** ***6 *****
εκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν κατὰ
τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν, 3.21 αὐτῷ
ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ καὶ ἐν Χριστῷ Ἰη-
σοῦ εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώ-
νων, ἀμήν. *5:03*

4.1 Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυ- **3.** **37 ****
ρίῳ ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ***3.1*** ***11 *****
ἐκλήθητε, 4.2 μετὰ πάσης ταπεινοφροσύνης καὶ -1 3:04
πραΰτητος, μετὰ μακροθυμίας¬ ἀνεχόμε- -2 2:13
νοι ἀλλήλων ἐν ἀγάπῃ, 4.3 σπουδάζοντες τηρεῖν τὴν
ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰ-
ρήνης· 4.4 ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθη- -3 4:00
τε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· 4.5 εἷς κύ-
ριος, μία πίστις, ἓν βάπτισμα, 4.6 εἷς θεὸς καὶ πα-
τὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν
πᾶσιν. *10:02*
4.7 Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κα- ***3.2*** ***21 *****
τὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. 4.8 διὸ λέγει, -1 1:11
**Ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσί-** -2 5:10
**αν, ἔδωκεν δόματα τοῖς ἀνθρώποις.** 4.9 τὸ δὲ Ἀνέ-
βη τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη εἰς τὰ κατ-
ώτερα [~~μέρη~~] τῆς γῆς; 4.10 ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ
ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα
πληρώσῃ τὰ πάντα. 4.11 καὶ αὐτὸς ἔδωκεν τοὺς μὲν ἀ- -3 4:04
ποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς,
τοὺς δὲ ποιμένας καὶ διδασκάλους, 4.12 πρὸς τὸν καταρτισ-
μὸν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰ-
κοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, 4.13 μέχρι καταντή-
σωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως -4 3:09
καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ, εἰς ἄν-
δρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώμα-
τος τοῦ Χριστοῦ, 4.14 ἵνα μηκέτι ὦμεν νήπιοι, κλυ- -5 5:11
δωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀ-
νέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀν-
θρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλά-
νης, 4.15 ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν
εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλή, Χριστός. *21:00*
4.16 Ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμ- ***3.3*** ***5 *****
βιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχο-
ρηγίας κατ᾽ ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκά-
στου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς
οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ. *4:11*

4.17 Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν κυρίῳ, μη- **4.** **64 ****
κέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ ἔθνη πε- ***4.1*** ***21 *****
ριπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, 4.18 ἐ- *-1* *8:11*

4.18 ἐσκοτωμένοι τῇ διανοίᾳ ὄντες,
ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ θεοῦ
διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς,
διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν,
4.19 οἵτινες ἀπηλγηκότες ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ
εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ.
4.20 Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν,
4.21 εἴ γε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε
καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ,
4.22 ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν
τὸν παλαιὸν ἄνθρωπον
τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης,
4.23 ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν
4.24 καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον
τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.
4.25 Διὸ ἀποθέμενοι τὸ ψεῦδος
**λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ,**
ὅτι ἐσμὲν ἀλλήλων μέλη.

---

4.26 **Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε·**
ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ [τῷ] παροργισμῷ ὑμῶν,
4.27 μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ.
4.28 Ὁ κλέπτων μηκέτι κλεπτέτω,
μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος ταῖς [ἰδίαις] χερσὶν τὸ ἀγαθόν,
ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.
4.29 πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω,
ἀλλὰ εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας,
ἵνα δῷ χάριν τοῖς ἀκούουσιν.
4.30 καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ,
ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.
4.31 Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία
ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ.
4.32 γίνεσθε [δὲ] εἰς ἀλλήλους χρηστοί,
εὔσπλαγχνοι χαριζόμενοι ἑαυτοῖς,
καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.

---

5.1 Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ ὡς τέκνα ἀγαπητά
5.2 καὶ περιπατεῖτε ἐν ἀγάπῃ,
καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς
καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν
προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας.
5.3 Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα ἢ πλεονεξία
μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις,
5.4 καὶ αἰσχρότης καὶ μωρολογία ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκεν,
ἀλλὰ μᾶλλον εὐχαριστία.
5.5 τοῦτο γὰρ ἴστε γινώσκοντες,
ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅ ἐστιν εἰδωλολάτρης,
οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ θεοῦ.
5.6 μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις·
διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ
ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.
5.7 Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν·

σκοτωμένοι τῇ διανοίᾳ ὄντες, ἀπηλλοτρι- -1.1 2:14
ωμένοι τῆς ζωῆς τοῦ θεοῦ διὰ τὴν ἄγνοιαν -1.2 3:04
τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδί-
ας αὐτῶν, 4.19 οἵτινες ἀπηλγηκότες ἑαυτοὺς παρ- -1.3 2:08
έδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκα-
θαρσίας πάσης ἐν πλεονεξίᾳ. 4.20 Ὑμεῖς δὲ οὐχ
οὕτως ἐμάθετε τὸν Χριστόν, 4.21 εἴ γε αὐτὸν ἠκού- *-2 8:14*
σατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε καθώς ἐστιν -2.1 2:13
ἀλήθεια ἐν τῷ Ἰησοῦ, 4.22 ἀποθέσθαι ὑμᾶς
κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄν- -2.2 2:10
θρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας
τῆς ἀπάτης, 4.23 ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ -2.3 3:06
νοὸς ὑμῶν 4.24 καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον
τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ
ὁσιότητι τῆς ἀληθείας. 4.25 Διὸ ἀποθέ-
μενοι τὸ ψεῦδος **λαλεῖτε ἀλήθειαν ἕκαστος** *-3 2:07*
**μετὰ τοῦ πλησίον αὐτοῦ,** ὅτι ἐσμὲν ἀλλήλων
μέλη. *20:02*

---

4.26 **Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε·** ὁ ἥλιος ***4.2 16 *****
μὴ ἐπιδυέτω ἐπὶ [τῷ] παροργισμῷ ὑμῶν, *-1 2:12*
4.27 μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. 4.28 Ὁ κλέπτων
μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργα- *-2 8:01*
ζόμενος ταῖς [ἰδίαις] χερσὶν τὸ ἀγαθόν, ἵνα -2.1 3:01
ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. 4.29 πᾶς λό-
γος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέ- -2.2 2:13
σθω, ἀλλὰ εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρεί-
ας, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. 4.30 καὶ μὴ λυπεῖ-
τε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφρα- -2.3 2:02
γίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. 4.31 Πᾶσα
πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφη- *-3 4:08*
μία ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ. 4.32 γί-
νεσθε [δὲ] εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι[,] χαριζό-
μενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ ἐ-
χαρίσατο ὑμῖν. *15:06*

---

5.1 Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ ὡς τέκνα ἀγα- ***4.3 27 *****
πητά 5.2 καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ *-1 4:08*
ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ παρέδωκεν ἑ-
αυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θε-
ῷ εἰς ὀσμὴν εὐωδίας. 5.3 Πορνεία δὲ καὶ ἀκα-
θαρσία πᾶσα ἢ πλεονεξία μηδὲ ὀνο- *-2 10:03*
μαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, 5.4 καὶ αἰσ- -2.1 4:05
χρότης καὶ μωρολογία ἢ εὐτραπελία, ἃ
οὐκ ἀνῆκεν, ἀλλὰ μᾶλλον εὐχαριστία. 5.5 τοῦτο
γὰρ ἴστε γινώσκοντες, ὅτι πᾶς πόρνος ἢ ἀκά- -2.2 3:07
θαρτος ἢ πλεονέκτης, ὅ ἐστιν εἰδωλολάτρης,
οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ
Χριστοῦ καὶ θεοῦ. 5.6 μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς -2.3 2:06
λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θε-
οῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. 5.7 Μὴ οὖν γίνε-
σθε συμμέτοχοι αὐτῶν· 5.8 ἦτε γάρ ποτε σκότος, νῦν *-3 11:12*

| | | | | |
|---|---|---|---|---|
| 5.8 | ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ· | δὲ φῶς ἐν κυρίῳ. ὡς τέκνα φωτὸς περιπατεῖ- | -3.1 | 1:10 |
| | ὡς τέκνα φωτὸς περιπατεῖτε – | τε – 5.9 ὁ γὰρ καρπὸς τοῦ φωτὸς ἐν πάσῃ ἀγαθωσύ- | -3.2 | 3:07 |
| 5.9 | ὁ γὰρ καρπὸς τοῦ φωτὸς ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ – | νῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ – 5.10 δοκιμά- | | |
| 5.10 | δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ κυρίῳ. | ζοντες τί ἐστιν εὐάρεστον τῷ κυρίῳ. 5.11 καὶ μὴ | | |
| 5.11 | καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, | συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, | -3.3 | 1:10 |
| | μᾶλλον δὲ καὶ ἐλέγχετε. | μᾶλλον δὲ καὶ ἐλέγχετε. 5.12 τὰ γὰρ κρυφῇ γινόμε- | | |
| 5.12 | τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστιν καὶ λέγειν, | να ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστιν καὶ λέγειν, 5.13 τὰ δὲ πάντα | -3.4 | 3:02 |
| 5.13 | τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται, | ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται, 5.14 πᾶν | | |
| 5.14 | πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν. | γὰρ τὸ φανερούμενον φῶς ἐστιν. διὸ λέγει, Ἔ- | | |
| | διὸ λέγει, Ἔγειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, | γειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ | -3.5 | 1:13 |
| | καὶ ἐπιφαύσει σοι ὁ Χριστός. | ἐπιφαύσει σοι ὁ Χριστός. | | *26:08* |
| 5.15 | Βλέπετε οὖν ἀκριβῶς πῶς περιπατεῖτε | 5.15 Βλέπετε οὖν ἀκριβῶς πῶς περιπατεῖτε μὴ ὡς | **5.** | **86 **** |
| | μὴ ὡς ἄσοφοι ἀλλ᾽ ὡς σοφοί, | ἄσοφοι ἀλλ᾽ ὡς σοφοί, 5.16 ἐξαγοραζόμενοι τὸν | ***5.1*** | ***11 ***** |
| 5.16 | ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν. | καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν. 5.17 διὰ | -1 | 2:13 |
| 5.17 | διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, | τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνίετε | -2 | 3:06 |
| | ἀλλὰ συνίετε τί τὸ θέλημα τοῦ κυρίου. | τί τὸ θέλημα τοῦ κυρίου. 5.18 καὶ μὴ μεθύσκεσθε | | |
| 5.18 | καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, | οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε | | |
| | ἀλλὰ πληροῦσθε ἐν πνεύματι, | ἐν πνεύματι, 5.19 λαλοῦντες ἑαυτοῖς [ἐν] ψαλμοῖς καὶ ὕμ- | -3 | 4:10 |
| 5.19 | λαλοῦντες ἑαυτοῖς [ἐν] ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, | νοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες | | |
| | ᾄδοντες καὶ ψάλλοντες τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ, | τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ, 5.20 εὐχαριστοῦντες | | |
| 5.20 | εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων | πάντοτε ὑπὲρ πάντων ἐν ὀνόματι τοῦ κυρί- | | |
| | ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ θεῷ καὶ πατρί. | ου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ θεῷ καὶ πατρί. | | *10:14* |
| 5.21 | Ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ, | 5.21 Ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ, 5.22 αἱ | ***5.2*** | ***47 ***** |
| 5.22 | αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὡς τῷ κυρίῳ, | γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὡς τῷ κυρίῳ, | *5.21* | *27 *** |
| 5.23 | ὅτι ἀνήρ ἐστιν κεφαλὴ τῆς γυναικὸς | 5.23 ὅτι ἀνήρ ἐστιν κεφαλὴ τῆς γυναικὸς ὡς καὶ | *-1* | *6:04* |
| | ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, αὐτὸς σωτὴρ τοῦ σώματος· | ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, αὐτὸς σωτὴρ | | |
| 5.24 | ἀλλὰ ὡς ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, | τοῦ σώματος· 5.24 ἀλλὰ ὡς ἡ ἐκκλησία ὑποτάσ- | | |
| | οὕτως καὶ αἱ γυναῖκες τοῖς ἀνδράσιν ἐν παντί. | σεται τῷ Χριστῷ, οὕτως καὶ αἱ γυναῖκες τοῖς ἀνδρά- | | |
| 5.25 | Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, | σιν ἐν παντί. 5.25 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, | *-2* | *20:10* |
| | καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν τὴν ἐκκλησίαν | καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν τὴν ἐκκλησίαν | -2.1 | *9:00* |
| | καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, | καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, 5.26 ἵνα αὐ- | -2.11 | 0:11 |
| 5.26 | ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, | τὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδα- | -2.12 | 6:06 |
| 5.27 | ἵνα παραστήσῃ αὐτὸς ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν, | τος ἐν ῥήματι, 5.27 ἵνα παραστήσῃ αὐτὸς ἑαυ- | | |
| | μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, | τῷ ἔνδοξον τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον | | |
| | ἀλλ᾽ ἵνα ᾖ ἁγία καὶ ἄμωμος. | ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ᾽ ἵνα ᾖ ἁ- | | |
| 5.28 | οὕτως ὀφείλουσιν [καὶ] οἱ ἄνδρες | γία καὶ ἄμωμος. 5.28 οὕτως ὀφείλουσιν [καὶ] οἱ ἄν- | -2.13 | 1:13 |
| | ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. | δρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυ- | | |
| | Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ. | τῶν σώματα. Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα | -2.2 | *9:00* |
| 5.29 | οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν | ἑαυτὸν ἀγαπᾷ. 5.29 οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ | -2.21 | 4:05 |
| | ἀλλὰ ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν, | σάρκα ἐμίσησεν ἀλλὰ ἐκτρέφει καὶ θάλπει αὐ- | | |
| 5.30 | ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ. | τήν, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν, 5.30 ὅτι μέ- | | |
| 5.31 | **ἀντὶ τούτου καταλείψει ἄνθρωπος [~~τὸν~~] πατέρα καὶ [~~τὴν~~] μητέρα** | λη ἐσμὲν τοῦ σώματος αὐτοῦ. 5.31 **ἀντὶ τούτου κατα-** | | |
| | **καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ,** | **λείψει ἄνθρωπος [~~τὸν~~] πατέρα καὶ [~~τὴν~~] μητέρα καὶ προσ-** | -2.22 | 2:14 |
| | **καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.** | **κολ\|ληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται** | | |
| 5.32 | τὸ μυστήριον τοῦτο μέγα ἐστίν· | **οἱ δύο εἰς σάρκα μίαν.** 5.32 τὸ μυστήριον τοῦτο | | |
| | ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. | μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν | -2.23 | 1:11 |
| 5.33 | Πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα, | ἐκκλησίαν. 5.33 Πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα, ἕκαστος | -2.3 | *2:10* |
| | ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν, | τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑ- | | |
| | ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. | αυτόν, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. | | *26:14* |
| 6.1 | Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν [~~ἐν κυρίῳ~~]· | 6.1 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν [~~ἐν κυρίῳ~~]· | *5.22* | *7 *** |

τοῦτο γάρ ἐστιν δίκαιον.
6.2 **τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα,**
ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ,
6.3 ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.
6.4 Καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν
ἀλλὰ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου.

6.5 Οἱ δοῦλοι,
ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου
ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν ὡς τῷ Χριστῷ,
6.6 μὴ κατ᾽ ὀφθαλμοδουλίαν ὡς ἀνθρωπάρεσκοι
ἀλλ᾽ ὡς δοῦλοι Χριστοῦ ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ ἐκ ψυχῆς,
6.7 μετ᾽ εὐνοίας δουλεύοντες ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις,
6.8 εἰδότες ὅτι ἕκαστος ἐάν τι ποιήσῃ ἀγαθόν,
τοῦτο κομίσεται παρὰ κυρίου εἴτε δοῦλος εἴτε ἐλεύθερος.
6.9 Καὶ οἱ κύριοι,
τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς,
ἀνιέντες τὴν ἀπειλήν,
εἰδότες ὅτι καὶ αὐτῶν καὶ ὑμῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς
καὶ προσωπολημψία οὐκ ἔστιν παρ᾽ αὐτῷ.

6.10 Τοῦ λοιποῦ, ἐνδυναμοῦσθε ἐν κυρίῳ
καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ.
6.11 ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ
πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου·
6.12 ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα,
ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας,
πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου,
πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.
6.13 Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ,
ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ
καὶ ἅπαντα κατεργασάμενοι στῆναι.
6.14 στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ
καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης
6.15 καὶ ὑποδησάμενοι τοὺς πόδας
ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης,
6.16 ἐν πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως,
ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ [τὰ] πεπυρωμένα σβέσαι·
6.17 καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε
καὶ τὴν μάχαιραν τοῦ πνεύματος,
ὅ ἐστιν ῥῆμα θεοῦ.
6.18 Διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι
ἐν παντὶ καιρῷ ἐν πνεύματι,
καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει
|6.19 περὶ πάντων τῶν ἁγίων | καὶ ὑπὲρ ἐμοῦ,
ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου,
ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου,
6.20 ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει,
ἵνα ἐν αὐτῷ παρρησιάσωμαι ὡς δεῖ με λαλῆσαι.

6.21 Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ᾽ ἐμέ, τί πράσσω,
πάντα γνωρίσει ὑμῖν Τυχικὸς
ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ,

| | | |
|---|---|---|
| τοῦ\|το γάρ ἐστιν δίκαιον. 6.2 **τίμα τὸν πατέρα σου καὶ** | *-1* | *4:08* |
| **τὴν μητέρα,** ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπ- | | |
| αγγελίᾳ, 6.3 **ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μα-** | | |
| **κροχρόνιος ἐπὶ τῆς γῆς.** 6.4 Καὶ οἱ πατέρες, μὴ παρ- | | |
| οργίζετε τὰ τέκνα ὑμῶν ἀλλὰ ἐκτρέφετε | *-2* | *2:06* |
| αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. | | *6:14* |
| 6.5 Οἱ δοῦλοι, ὑπακούετε τοῖς κατὰ σάρκα κυρί- | *5.23* | *13 *** |
| οις μετὰ φόβου καὶ τρόμου ἐν ἁπλότητι τῆς καρ- | *-1* | *8:07* |
| δίας ὑμῶν ὡς τῷ Χριστῷ, 6.6 μὴ κατ᾽ ὀφθαλμοδουλί- | -1.1 | 2:08 |
| αν ὡς ἀνθρωπάρεσκοι ἀλλ᾽ ὡς δοῦλοι Χριστοῦ ποιοῦν- | -1.2 | 3:06 |
| τες τὸ θέλημα τοῦ θεοῦ ἐκ ψυχῆς, 6.7 μετ᾽ εὐνοίας | | |
| δουλεύοντες ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις, 6.8 εἰ- | | |
| δότες ὅτι ἕκαστος ἐάν τι ποιήσῃ ἀγα- | -1.3 | 2:08 |
| θόν, τοῦτο κομίσεται παρὰ κυρίου εἴτε δοῦ- | | |
| λος εἴτε ἐλεύθερος. 6.9 Καὶ οἱ κύριοι, τὰ αὐτὰ | *-2* | *3:11* |
| ποιεῖτε πρὸς αὐτούς, ἀνιέντες τὴν ἀπειλήν, εἰ- | | |
| δότες ὅτι καὶ αὐτῶν καὶ ὑμῶν ὁ κύριός ἐσ- | | |
| τιν ἐν οὐρανοῖς καὶ προσωπολημψία οὐκ ἔστιν | | |
| παρ᾽ αὐτῷ. | | *12:03* |
| 6.10 Τοῦ λοιποῦ, ἐνδυναμοῦσθε ἐν κυρίῳ καὶ ἐν τῷ | ***5.3*** | ***28 ***** |
| κράτει τῆς ἰσχύος αὐτοῦ. 6.11 ἐνδύσασθε τὴν πανοπ- | *-1* | *7:08* |
| λίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς | -1.1 | 1:08 |
| τὰς μεθοδείας τοῦ διαβόλου· 6.12 ὅτι οὐκ ἔστιν | -1.2 | 2:02 |
| ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς | -1.3 | 3:13 |
| ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας | | |
| τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρί- | | |
| ας ἐν τοῖς ἐπουρανίοις. 6.13 Διὰ τοῦτο ἀναλά- | | |
| βετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆ- | *-2* | *12:00* |
| τε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ | -2.1 | 3:03 |
| ἅπαντα κατεργασάμενοι στῆναι. 6.14 στῆτε οὖν πε- | | |
| ριζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ | -2.2 | 6:10 |
| καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύ- | | |
| νης 6.15 καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμα- | | |
| σίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, 6.16 ἐν πᾶσιν | | |
| ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ | | |
| δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ [τὰ] πε- | | |
| πυρωμένα σβέσαι· 6.17 καὶ τὴν περικεφαλαίαν τοῦ | -2.3 | 2:02 |
| σωτηρίου δέξασθε καὶ τὴν μάχαιραν τοῦ πνεύμα- | | |
| τος, ὅ ἐστιν ῥῆμα θεοῦ. 6.18 Διὰ πάσης προσευχῆς | | |
| καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ | *-3* | *8:01* |
| ἐν πνεύματι, καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες ἐν πάσῃ | -3.1 | 1:11 |
| προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁ- | -3.2 | 4:08 |
| γίων 6.19 καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν | | |
| ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ γνωρί- | | |
| σαι τὸ μυστήριον τοῦ εὐαγγελίου, 6.20 ὑπὲρ οὗ | | |
| πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παρρησι- | -3.3 | 1:12 |
| άσωμαι ὡς δεῖ με λαλῆσαι. | | *27:09* |
| 6.21 Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ᾽ ἐμέ, τί πράσ- | **6.** | **10 **** |
| σω, πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπη- | -1 | 5:03 |
| τὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ, | | |

| | |
|---|---|
| 6.22 | ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, |
| | ἵνα γνῶτε τὰ περὶ ἡμῶν |
| | καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. |
| 6.23 | Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως |
| | ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ. |
| 6.24 | Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν |
| | ἐν ἀφθαρσίᾳ. |

| | | |
|---|---|---|
| 6.22 ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶ- | | |
| τε τὰ περὶ ἡμῶν καὶ παρακαλέσῃ τὰς καρδί- | | |
| ας ὑμῶν. 6.23 Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη με- | -2 | 2:01 |
| τὰ πίστεως ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰ- | | |
| ησοῦ Χριστοῦ. 6.24 Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπών- | -3 | 1:13 |
| των τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρ- | | |
| σίᾳ. | | *9:02* |